Καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας ἀπάγει ἐπὶ τὴν σκήνην, ἐν οἷς ἐστι καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα. ἀλλά τοι, ἔφη, ὦ παῖ, ἔνια ἐστιν ἃ οὐ προς ἀνθρώπους ἀγωνιστέον, ἀλλὰ πρὸς αὐτὰ τὰ πράγματα, ὧν οὐ ῥᾴδιον εὐπόρως περιγενέσθαι. ἐνέκειτο δὲ καὶ πίναξ τις ἔμπροσθεν τοῦ νεώ, ἐν ᾧ ἦν γραφή τις ξένη, καὶ μύθους ἔχουσα ἰδίους, οὓς οὐκ ἠδυνάμεθα συμβαλεῖν, τίνες καὶ πόθεν ἦσαν. ἔννεπε δ' ὅτου χάρι σπουδὴν ἔθου τήνδε, dic autem cujus causa negotium coeperis hocce. πολλάκις δ' ἀπόνοια δίδωσιν, ὅσα μὴ ἔδωκεν ἀνδρεία. ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγον ὧν ἐποίει, καὶ λαμβάνειν παρ' ἄλλων ἃ δικάζοι, quod cogeretur a magistro et reddere rationem eorum quae fecit, et accipere ab aliis ea quae judicet. διὸ καὶ ὅταν ἀναλώσῃ πάνθ' ὅσα ἔλαβε παρὰ τῆς τύχης. Φίλον οὐκ ἔχω, ᾧτινι πιστεῦσαι ἂν δυναίμην. ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην. τοῦτ' ἴσως διαπραττόμενος, ὃ καὶ γέγονεν, hoc forte agens, quod et factum ets.

οὐδείς ἐστιν, ὃς οὐκ ἂν εἴποι, ὅτι ἀνθρώπινον. ᾧ ὀλίγον οὐχ ἱκανόν, ἀλλὰ τούτῳ γε οὐδὲν ἱκανόν. ὁρᾶτε, ἔφη, τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον, ὅτι τύχη καλεῖται; von dem ich euch schon gesagt habe, daß u. s. w.

Anmerkungen.

1. Das Nomen wird oft in demselben Satze mit dem Relativ in gleichen Kasus gesetzt, wenn sich dieses darauf bezieht, als:„ ἐν οἷς ἐτράφη χωρίοις, welches eigentlich heissen soll:„ τὰ χωρία, ἐν οἷς ἐτράφη. παῖδας δ' οὓς ἔσχεν, οὗτοι statt:„ παῖδες δέ, οὓς ἔσχεν, οὗτοι. τίς δ' ἐστίν, ὅντιν' ἄνδρα προσλεύσσεις; anstatt:„ τίς δ' ἐστὶν ἀνήρ, ὅντινα προσλεύσσεις, wer ist der Mann, den du ansiehst?

2. Das Relativ wird auch häufig mit dem, im andern Satze folgenden Nomen übereingemacht, und nicht mit dem vorhergehenden, auf das es sich eigentlich bezieht, als„ φίλος, ὃ μέγιστον ἀγαθόν ἐστι. πάρεστιν αὐτῷ φόβος, ἣν αἰδῶ καλοῦμεν. Und so hat auch der Lateiner:„ domicilia conjuncta, quas urbes dicimus.

3. Das Relativ hat im andern Satze gewöhnlich denselben Kasus, in welchem das Nomen des vorhergehenden Satzes steht, auf das es sich bezieht, obschon das Verbum oft einen andern Kasus erfodert, als:„ ἀπὸ πάντων τῶν ἔργων, ὧν ἐποίησε, anstatt:., ἃ ἐποίησε. τοῖς θησαύροις. οἷς ὁ πατήρ κατέλιπε. Πλάτων τὰ πολλὰ ὧν τινες συγγράφουσι, τοῖς Ἀδονικοῖς κήποις εἴκαζεν, für: τα πολλα τῶν ἐκείνων, ἃ τινες συγγράφουσι. Indeß steht schon oft der Kasus, den das Verbum direkt verlangt, als:„ οὐ μὲν Φόρμιγγος περικαλλέος ἣν ἔχ' Ἀπόλλων, für: ἧς εἶχεν Ἀπόλλων.

4. Wenn sich das Relativ auf ein Demonstrativ bezieht, so wird dieses gewöhnlich ausgelassen, jenes aber in den Kasus gesetzt, in welchem dieses stehen müßte, als:„ διδόναι λόγον ὧν τις ποιεῖ, χρῶμαι οἷς ἔχω, anstatt:„ διδόναι λόγον ἐκείνων ἃ τις ποιεῖ: χράομαι ἐκείνοις, ἃ ἔχω, u. s. w.

4. Endlich kann das Relativ auch noch in verschiedenen andern Bedeutungen vorkommen, als: „ θαυμαστὸν ποιεῖς, ὅς ἡμῖν οὐδὲν δίδως, du thust wunderlich, daß du uns nichts giebst. ὅς ἐστι δηλοῖ, quis sit indicat, statt τίς ἐστι δηλοῖ, u. s. m. Uebrigens steht es in relativer Bedeutung in Verbindung mit verschiedenen Partikeln: „ ὅς δή, ὅς κε, ὅς κεν, ὅσπερ, ὅς τε, die alle soviel als ὅς sagen. Man findet gewöhnlich auch den Artikel, ὁ, ἡ, τὸ, für ὅς, ἥ, ὅ.

„Reflexive Fürwörter.

Ἀλλ' οὐ μὲν ἐγὼ ἐμαυτὸν ἀσφαλῆ ἐν τῷ διακρίνασθαι ταῦτα εἰπεῖν ἔχω. σὺ μὲν οὐδ' εἰς τοῦτο πρόθυμον ἡμῖν σεαυτὸν ἐχαρίσω. νομίζει τοὺς πολίτας ὑπηρετεῖν ἑαυτῷ. Ἀναξαγόρᾳ προσελθών τις ἔφη, τεθνηκέναι οἱ τοὺς δύο παῖδας. δεόμενοι ἦκον εἰρήνην σφίσι ποιῆσαι. περίβολος ἐν αὐτῷ ἔχων ἑτέρους περιβόλους δύο. εἰς ἀλλήλους ἀποβλέπουσιν, sie sehen einander an. ἀμύνονται σφίσιν αὐτοῖς, sie vertheidigen wehren sich. Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθείς τί ἐστι πολέμιον ἀνθρώποις; αὐτοί, ἔφη, ἑαυτοῖς. οἱ δέ φασιν, ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστι καὶ Σοφοκλῆς. καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς ἑαυτάς. ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὑπὲρ ὑμῶν αὐτῶν ἀξιῶ πράττειν ταῦτα. κορῶναι ἀλλήλαις εἰσὶ πιστόταται, καὶ πάνυ σφόδρα ἀγαπῶσι σφᾶς. σφῶν αὐτῶν πρυτάνεις ἀπεκλήρωσαν, die Prytanen wählten sich selbst aus ihrer Mitte. πάντα μὲν ἄγρια, πάντα, πολὺ πλεῖον δὲ οἱ αὐτῷ βαιὰ λαμπὰς ἐοῦσα, τὸν ἅλιον αὐτὸν ἀναίνεται, omnia quidem ferocia, omnia, multo magis vero sibi ipsi quae parva fax est, solem ipsum perurit.

Anmerkungen.

1. Der Unterschied zwischen αὐτῷ, αὑτῷ oder ἑαυτῷ, und οἱ, läßt sich leicht bemerken und fühlen, wenn man den Begriff der verschiedenen Fürwörter richtig aufgefaßt hat, als:„ ἔδωκα αὐτῷ τὸ βιβλίον. αὐτὸς ὁ ἄνθρωπος ἑαυτῷ πολέμιος δῆλός τε ἦν πᾶσιν ὅτι ὑπερφοβεῖτο μὴ οἱ ὁ πάππος ἀποθάνοι.

2. Die Formen αὑτοῦ oder ἑαυτοῦ, u. s. w., können auch bey der ersten und zweyten Person stattfinden, wenn keine Zweydeutigkeit obwaltet, als:„ εἶτα τολμήσεις τοῖς ὀφθαλμοῖς τοῖς ἑαυτοῦ τὸν υἱὸν ἀποθνήσκοντα ὑπομεῖναι. πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας. καὶ ἀγοράσατε ἑαυταῖς. Uebrigens finden sich häufige Beyspiele, daß αὐτῷ, αὑτῷ und οἱ, eines statt des andern steht, als:„ ἦν οἱ πόρε Φοῖβος Ἀπόλλων, für αὐτῷ, u. s. w., durch alle Zahlverhältnisse, als:„ τίς γάρ σφωε θεῶν ξυνέηκε, statt αὐτούς.

„Fragende Fürwörter.

Τίς δὲ δοῦναι δύναται ἑτέρῳ, ἃ μὴ ἔχει αὐτός; τί οὖν ἐστι σόν; ποίαν οὖν ὁδὸν κελεύει βαδίζειν; ποίους τινὰς χρὴ προσδοκᾶν τοὺς ἐπαίνους; κακόδαιμον, ὀσφραίνῃ τί; οἷόν τί; ἔφην ἐγώ. ποτος χρόνος; τί ποιοῦντες οὕτω καλοῦνται; τὶ λαβὼν ἀδικοῦντα αὐτὸν ἀπέκτεινας; versteht:„ κατὰ τί αὐτὸν ἔλαβες, ὅτι ἀδικοῦντα ἀπέκτεινας. τίνας ὑπὸ τίνων εὕροιμεν ἂν μείζονα εὐργετημένους, ἢ παῖδας ὑπὸ γονέων; welche wohl fanden wir, und von welchen mit grösseren Wohlthaten überhäufet, als Kinder von ihren Aeltern? ποία δέ ἐστιν αὕτη; τίνα οὖν δίδωσιν αὐτοῖς; τίνες οὖν καλοῦνται οὗτοι; ὅνταν οὖν τις ὧδε παραγένηται, τί ποιεῖ; Σωκράτης ἐρωτηθείς, τίνι τῶν ἄλλων ἀνθρώπων διαφέρει εἶπε· καθόσον οἱ μὲν λοιποὶ ζῶσιν, ἵν' ἐσθίωσιν· αὐτὸς δὲ ἐσθίω, ἵνα ζῶ.

Anmerkungen.

1. Es ist nicht zu glauben, daß es allemal ein Fragesatz sey, wenn dergleichen Fragewörter darin vorkommen; sondern sie können auch stehen, wie im Deutschen oder Lateinischen, ohne daß man ausdrücklich oder direkte fragt, als:„ βίος οἷος ἁβρότατος, vita quam delicatissima. καὶ δεικνύει, ποίαν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν, und zeigt welchen Weg sie gehen müssen. λέγε δὴ τί κελεύεις, dic igitur quid jubeas. ἀλλὰ νῦν ἐπὶ τίνι δή πότε ἐλπίδι ζῇς, ἐγὼ φράσω, nun aber in was für einer Hoffnung du wohl lebest, will ich dir sagen.

2. Bey Fragesätzen sind die gewöhnlichen Fragewörter, und zwar direkte:„ ποῖος, πόσος, πότερος. τίς: πῇ, ποῖ, ποῦ, πῶς; und indirekte:„ ὁποῖος, ὁπόσος, ὁπότερος, ὅσος: ὅπη, ὅποι, ὅπου, ὅπως. Es kann aber auch häufig gefragt werden, ohne daß dergleichen Fragewörter vorhanden sind, als:„ ὁρᾶτε τὴν ὁδὸν ἐκείνην, τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο; der zu jener Höhe führt?

3. Zum Beschlusse der Fürwörter kann man noch anmerken, daß die verschiedenen Formen:„ αὐτοῦ, αὐτῆς, αὐτῷ, αὐτῇ: ἐκείνου, ἐκείνης, ἐκείνῳ, ἐκείνῃ: οὗ, ἧς, ᾧ, ᾧδε, ᾗ, ᾗδε, oder, ἥ, ἥδε: τούτου, ταύτης, τούτῳ, ταύτῃ, adverbialisch oft bedeuten:„ da, dadurch, daselbst, hier, hiedurch, auf diese Weise, so, als:„ οὐκοῦν ἧπερ κολάζουσιν ὀρθῶς, ταύτῃ καὶ γιγνώσκουσι τοὺς χρηστοὺς καὶ πονηρούς ὧδε εἴσῃ· ἐάν σε ἔρωμαι, τὸ ἓν καὶ τὰ δύο, πότερα πλείω ἐστί; φήσεις, ὅτι τὰ δύο, auf diese Art wirst du es begreifen: wenn ich dich frage, eins und zwey, welches ist grösser? Du wirst sagen, daß zwey grösser sey, u. s. w.

Fünftes Kapitel.

§. 12.

Fügung des Redewortes.

Das Redewort erklärt allemal dasjenige, von dem wie immer geredet wird, oder geredet werden

kann. Es ist demnach zur nähern Bestimmung und Erklärung des Subjektes der Rede, auch als der vorzüglichst wesentliche Redetheil anzusehen; der mit demselben in allen Personen, und Zahlverhältnissen, in der Regel vollkommen übereinkommen muß.

§. 13.

Da nun das Redewort das jedesmalige Beschaffensеyn, oder Handeln des Subjektes erklärt; die Handlungen aber nur unter gewissen Zeitstimmungen und verschiedenen Modifikationen, und Umständen vor sich gehen können: so hat man hier auch die verschiedenen Zeiten und Moden, oder Handlungsweisen, zu berücksichtigen.

§. 14.

Bevor wir aber zu den Beyspielen übergehen können, müssen wir zuvor noch folgende Regeln im Allgemeinen vorausschicken:

1. Wenn das Subjekt im Neutrum Plural steht, oder wenn auch mehrere Wörter verschiedenen Geschlechtes als ein abstraktes Neutrum gedacht werden; dann wird zwar nicht immer, jedoch aber gewöhnlich, das Verbum im Singular mit seinem Hauptnomen oder Subjekte verbunden, als:„ τὰ καθήκοντα ὡς ἐπίπαν ταῖς σχέσεσι παραμετρεῖται, die Pflichten werden überhaupts nach verhältnissen bestimmt. ἵνα γίγνηται αὐτῇ ἀρχαί τε καὶ γάμοι καὶ ὅσαπερ. ὁποῖοι πόνοι μέτριοι καὶ σιτία πρὸς τὸ σῶμά ἐστι; τὰ ζῶα τρέχει.

2. Können Collektivnamen, wenn sie auch im Singular stehen, dennoch das Adjektiv und Verbum im Plural bey sich haben, als:„ ἐν τούτῳ δὴ καὶ ὁ δῆμος Ἀθηναίων, εἰς το θέατρον προσελθόντες, ἐβόων προχειρίσασθαί με στρατηγόν. ὡς φάσαν ἡ πληθύς. τὸ στρατόπεδον ἀνεχώρουν. ὥστε πολὺ πλήθος ἐκβάντες κατελάβοντο τοὺς πύργους.

3. Werden ἐστὶ und εἰσὶ, als Copulá in verschiedenen Redesätzen oft weggelassen, als:„ οὗτοί γε οἱ λόγοι χαλεποί. πάντων ἥδιστον ἡ φίλια. οἱ πλεῖστοι ἄνθρωποι κακοί. ὁ κάματος τοῖς ἀνθρώποις θησαυρός. βραχὺς ὁ βίος ἀνθρώπῳ εὖ πράττοντι, δυστυχοῦντι δὲ μακρός.

4. Oder es ist wieder umgekehrt manchmal auch das Subjekt ausgelassen, oder wieder ein Verbum, als:„ ἐν τῇ Σάμῳ τῇ Ἥρᾳ πλείστους ταὼς ἔτρεφον. καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν, καὶ προύνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας. δικασταὶ τούτοις ἔστωσαν, οἵπερ ἱεροσύλοις, verstehe, εἶναι, παρεῖναι φιλοῦσι. οὐδὲ μὴν οὐδὲ περὶ παλαισμάτων γε εἰώθασι βουλεύεσθαι ἐν τῇ ἐκκλησίᾳ. μάντις γὰρ αὖ ταῦτα ἄμεινον, ἢ σύ, verstehe, συμβουλεύσει, wird besser, als du, dieses berathen.

5. Hat im Allgemeinen das Aktiv, auch aktive; das Passiv, auch passive; und das Medium, reflexive Bedeutung; in der Voraussetzung, daß man schon einen hinlänglichen Begriff von aktiven, passiven, reflexiven, neutralen, oder subjektiven Redewörtern habe, indem es nicht immer auf die Formen ankommt, um auf das Genus des Verbi schliessen zu können, weil häufig entgegengesetzte For-

men, auch entgegengesetzte Bedeutungen zulassen können, als:„ οὐκ ἀκήκοας, ὡς οἱ τέττιγες ἄνθρωποι τὸ παλαιόν, εἰς ὄρνιθας μετέβαλον; für μετεβλήθησαν, oder ἑαυτοὺς μετέβαλον. καὶ γάρ Παγασὰς ἀπαιτεῖν αὐτόν εἰσιν ἐψηφισμένοι, für ἐψηφίκασι, decreverunt. θρέψομαι, nutriar. ἐπαινέσομαι, laudabor, für τρεφθήσομαι, ἐπαινεθήσομαι. πόθεν, ὦ Σώκρατες, φαίνῃ; woher, o Sokrates, kommst du? καὶ ἀπηλλάττοντο ἀπ' ἀλλήλων, und sie von einander giengen.

Anmerkungen.

1. Es geschieht häufig im Perfekt, Plusquamperfekt, und im Aorist, daß passive Formen aktive Bedeutung haben; und so wieder umgekehrt, aktive Formen eine passive Bedeutung, als:„ τοὺς ἐχθροὺς τετιμώρηται, inimicos ultus est. ἐπὶ ξένῳ παιδὶ τὴν ἀρχὴν πεποίηται, in alterius filium imperium transtulit. ὑπερβέβληται τοὺς πάλαι, supperavit veteres. Περικλῆς πλουτῶν χώραν πολλὴν ἐκέκτητο. διαλεχθείς, cum disseruisset. ἐδυνήθην, potui. μεμισθωμένος χῶρον, ein Grundstück gemiethet habend. Und so auch:„ ἑάλωκα, ἑάλων κλοπῆς, furti accusatus sum. ἐν αὐτοφώρῳ ἁλούς, in flagranti crimine deprehensus, auf frischer That erwischt. ἐν ὀστράκοις κατεαγόσι, in testis confractis. πεπηγότων εἰς γῆν ὀφθαλμῶν, fixis in terram oculis. διέφθαρε, corruptus est. καθέστη εἰς ἀρχήν, in magistratu constitutus est.

2. Mehrere Verben haben im Perfekt und Plusquamperfekt, die Bedeutung des Präsens und Imperfekts, als:„ ἀφέωκα, für ἀφεῖκα, dimitto und dimisi. ἀφέωνται, dimittuntur, werden entlassen. δέδια, timeo. ἔοικα, similis sum. ἔωθα, soleo. κέχηνα, inhio. μέμηνα, insanio. οἶδα, scio, weiß. πέποιθα, confido. πεφόβημαι, timeo. πέφρικα, horreo. πέφυκα, sum, u. s. w.

3. Das Passiv muß im Deutschen machmal nothwendig durch das Wörtchen, man, es, ausgedruckt werden, als:„ οὗτος μέν τοι ὁ ἔπαινός ἐστι καλός, ὃν σὺ

νῦν ἐπαινῇ ὑπ' ἀνθρῶν ἀξίων πιστεύεσθαι, daß man ihnen glaube, die Glauben verdienen. κομίζομαι τὴν ἐπιστολήν, man bringt mir einen Brief, ich erhalte einen Brief. τί γὰρ ὠφελεῖται ἄνθρωπος; was hilft es dem Menschen? πιστευόμεθα, man glaubt uns.

---

§. 13.

Indikativ.

Der Indikativ stellt das, was das Verbum aussagt, als gewiß und wirklich daseyend, geschehend, oder als schon geschehen, oder auch als noch geschehen werdend, vor.

Φύσεως μὲν γὰρ ἀρετὴν διαφθείρει ῥαθυμία, φαυλότητα δὲ ἐπανορθοῖ διδάχη. ἱκανῶς μοι δοκεῖς λέγειν, ἔφην, καὶ ἀνεῖλες τὴν δόξαν, δι' ἣν ταῦτα ἐκ κακῶν ἔργων εἶναι ᾠήθην. ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται, οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται. ἐπεὶ δὲ συνηγόρευον μὲν πολλοὶ ὅτι τάχυστα πορεύεσθαι ἐπὶ τοὺς πολεμίους, ἀντέλεγε δὲ οὐδείς· ἐκ τούτου δὴ ὁ Κῦρος ἤρχετο λόγου τοιοῦδε. δεδοίκασιν αἱ μέλισσαι οὐ τοσοῦτον τὸ κρύος, ὅσον τὸν ὄμβρον. ἡγούμεθα γὰρ χρῆναι πρός γε ὑμᾶς παῤῥησιάζεσθαι. εἰσὶ γάρ τινες οἳ τῶν τοιούτων καταγελῶσι. πολλὰ τῶν ζώων ἄναιμά ἐστι, καθόλου δέ, ὅσα πλείους πόδας ἔχει τεττάρων. κἀγὼ μὲν ἐσπουδασμένως ἐπέσταλκα Στησιχόρῳ, μηδὲν ἀχθεσθῆναι περὶ τῆς διαβολῆς, ἣν κατ' αὐτοῦ πεποίηνται πρός με οἱ περὶ Εὔβουλον· καὶ σὺ δὲ δός μοι ταύτην τὴν χάριν, ἀνάδοχος αὐτῷ γενόμενος, περὶ τοῦ μηδὲν ἐμὲ πονηρὸν κατ' αὐτοῦ πεπιστευκέναι, licet equidem bona fide scripsi Stesichoro,

nihil solicitari de obtrectatione, quam in ipsum apud me intendit Eubulus, tamen et tu dabis mihi hanc Gratiam, ut ei tua fide spoudeas, nihil me mali de ipso credidisse. οἱ Θετταλοὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν. τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος, τέλος δὲ ἡ μήτηρ ἀπῆλθε, αὐτὸς δὲ κατέμενε καὶ αὐτοῦ ἐτρέφετο. καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο, καὶ τοὺς πατέρας αὐτῶν ἀνήρτητο προσιών. ταῦτα μὲν δὴ προείρητό τε καὶ ἤσκητο ὑπὸ τῆς στρατιᾶς. ἔοικεν ὁ βίος τῷ θεάτρῳ. ἀνὴρ σοφὸς τὰς ἐν βίῳ συμφορὰς ῥᾷον οἴσει τῶν ἄλλων. ἔπεμψά σοι τὸ ἀργύριον. οὐδὲν γὰρ οὕτως ἔσται μέγα τῶν αἰτημάτων, ὃ μὴ πάντως αἰτησαμένῳ χαριούμεθα. ταῦτα δὲ ὑμῖν ἐπιστέλλω μὰ τοὺς θεοὺς οὐκ ἐφ' οἷς δέδωκα ἀλγῶν, ἀλλ' ἐφ' οἷς πεπόνθατε ἀνιώμενος, haec autem vobis scribo certe non quae dedi moleste ferens, sed quae passi estis offensus. τὸ Φρούριον, ὃ σὺ πορθῶν ἐγκατέλιπες, ὑπὸ τῶν περὶ Τεῦκρον ἐξ ἐπιδρομῆς καθῃρέθη. ἡ πολιτεία τελέως κεκοσμήσεται, ἐὰν ὁ τοιοῦτος αὐτὴν ἐπισκοπῇ φύλαξ. πρεσβυτέρῳ μὲν νεωτέρων πάντων ἄρχειν προστετάξεται. ἐπεὶ δὲ τὸ πλεῖστον τοῦ λόφου περιετείχιστο. οὔτε ἐκεῖνον ἡ νεότης, οὔτε σε τὸ γῆρας ἐξαιρήσεται, δι' αὐτὰ δὲ ταῦτα καὶ μᾶλλον κολασθήσεσθε, δι' ἃ νῦν συγγνώμης ἀξιοῦσθε. ἐγὼ δή σοί γε ἐρῶ, ὦ φίλε παῖ Κλεινίου καὶ Δεινομάχης, τὰ τούτου πράγματα ἀμελεῖται ὑπὸ τῶν θεῶν. οὐ νῦν, ἀλλὰ πολλάκις ἤδη σοι γέγραφα. τὰ χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι. τί οὖν ὧδε ἐστήκασιν αὗται; ὅτι ἐπὶ στρογγύλου λίθου ἕστηκεν καὶ

τοῖσδε τοῖς νεανίσκοις αὐτὰ ταῦτα ἐνδεικνύμεθα, λέγοντες, ὅτι εἰ μὲν ἀμελήσουσιν ἑαυτῶν, καὶ μὴ πείσονται ἡμῖν, ἀκλεεῖς γενήσονται.

Anmerkungen.

1. Das Verbum kommt beym Neutrum Plural, zwar gewöhnlich im Singular vor. Indeß scheinen die alten Griechen dieses eben nicht genau beobachtet zu haben. So sagt Plato im Laches:„ ἐπειδὴ μειράκια γέγονεν, nachdem sie herangewachsen, Jünglinge geworden sind. Und ein andermal, gleichfalls im Laches:„ τὰ γὰρ μειράκια τάδε πρὸς ἀλλήλους οἴκοι διαλεγόμενα θαμὰ ἐπιμέμνηνται Σωκράτους, καὶ σφόδρα ἐπαινοῦσι.

2. Es steht im Griechischen auch der Indikativ, wo hingegen im Deutschen oder Lateinischen der Konjunktiv zu stehen pflegt, als:„ ἐρωτᾷ τί δεῖ ποιεῖν, er fragt was zu thun sey, interrogat quid sit faciendum. βούλομαι ἀκούειν ὅπως ἔχει, ich will hören was er mache, macht. εἰ οὖ σοι τοῦτο συνέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες, wenn dieses dir nicht zuträglich wäre, so du würdest uns wohl das nicht anrathen. ἔλεγε μηδέποτε ἡσθῆναι τοσοῦτον, ὅσον τότε ἥδετο, er sagte, er habe sich niemal so sehr gefreut, als er sich damals freuete, oder gefreut habe.

3. Erscheint das Verbum manchmal im Dual und Plural, wenn gleich nur immer von zwey Subjekten die Rede ist; und die zweyte und dritte Person Dual, scheinen in demselben Redebegriffe oder Redesinne, mit einander gewechselt zu haben, als:„ ἐτυγχανέτην οὖν δύο τῶν μειρακίων ἐρίζοντε· ἐφαινέσθην μέν τοι ἢ περὶ Ἀναξαγόρου, ἢ περὶ Οἰνοπίδου ἐρίζειν. κύκλους γοῦν γράφοντες ἐφαίνεσθον, καὶ ἐγκλίσεις τινὰς ἐμιμοῦντο τοῖν χεροῖν ἐπικλίνοντε, καὶ μάλα ἐσπουδακότε. Siehe Plato's Ἐραστὰς, ἢ περὶ φιλοσοφίας.

---

§. 16.

Konjunktiv.

Der Konjunktiv stellt das, was das Verbum aussagt, nicht als gewiß daseyend, und

wirklich geschehend; sondern bloß idealisch vor, in wie fern unter gewissen Umständen etwas geschehen kann und muß; wird aber auch von gewissen Partikeln regiert.

Χαβρίας τοῖς στρατιώταις παρήγγειλεν, ἐπειδὰν μέλλωμεν μάχεσθαι, μή τοι νομίζωμεν, ὡς πολεμίοις συμβάλλοντες· ἀλλὰ ἀνθρώποις αἷμα καὶ σάρκα ἔχουσι, καὶ τῆς αὐτῆς Φύσεως ἡμῖν κεκοινωνηκόσι. ὅταν τι, διαγνοὺς ὅτι ποιητέον ἐστί, ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτό, κἂν ἀλλοῖόν τι οἱ πολλοὶ μέλλωσι περὶ αὐτοῦ ὑπολαμβάνειν, wenn auch anderst der gemeine Haufe darüber urtheilen sollte. Φέρε δή, ἔφην ἐγώ, κοινῇ σκεψώμεθα. τὸ ῥόδον τὸ τῶν ἐρώτων μίξωμεν Διονύσῳ. ἐάν τις εὐθηνία γένηται. μὴ δὴ περιίδῃς ἀγαθοὺς γείτονας εἰς στενὸν. ἀλλ' ἄγε, ἴωμεν καὶ μαχώμεθα τοῖς πολεμίοις. ἦν ἔλθῃς μετ' ἐμοῦ. ὡς θέλεις, ἀσωτεύσῃ. εἴπωμεν ἢ σίγωμεν; καθ' ὃ δ' ἄν λειφθῇ τι τούτων. διὰ τοῦτο δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἧττονα δὲ λέγωμεν. πορεύονταί τε αἱ ἀγέλαι οἷ ἄν αὐτάς εὐθύνωσιν οἱ νομεῖς· νέμονταί τε χωρία ἐφ' ὁποῖα ἂν αὐτὰς ἀφίωσιν· ἀπέχονταί τε ὧν ἄν αὐτὰς ἀπείργωσι· καὶ τοῖς καρποῖς τοίνυν τοῖς γιγνομένοις ἐξ αὐτῶν ἐῶσι τοὺς νομέας χρῆσθαι, ὅπως ἂν αὐτοὶ βούλωνται, es gehen auch die Heerden wohin wohl sie treiben die Hirten, waiden ab auch die Plätze zu welchen immer sie sie lassen, und enthalten sich wovon sie sie abhalten; und die Früchte sogar erzeugt von ihnen lassen sie die Hirten gebrauchen, so wie dieselben nur wollen. ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγ-

ματα συστῇ, καὶ πᾶσι ταῦτα συμφέρῃ τοῖς μετέχουσι τοῦ πολέμου. οὐδ' ὅπως μὴ πάλιν ποτὲ δῶ, ἀλλ' ἵνα ὑμεῖς μὲν εἰς μηδὲν κακὸν ἀξιώσητε λαβεῖν· ἐγὼ δὲ εἰς εὐτυχίας αἰτούμενος ὑπὸ τῶν οἰκειοτάτων, καὶ προθυμότερον καὶ πολυτελέστερον χαρίζωμαι, non vero ut ne iterum aliquando donem, sed ut vos quidem ad nullum malum petatis accipere; ego autem ad fortunas rogatus ab amicissimis, et promptissime et liberalissime gratificer, oder, munera conferam. καὶ πανταχοῦ οὗ ἂν ἀφίκηται, πάντα καλῶς βιώσεται. ἀλλ' αὕτω ποιῶμεν, ὦ Σώκρατες, ὡς σὺ βούλει. τοῦτο τοίνυν πρῶτον ἐπιχειρήσωμεν, ὦ Λάχης, εἰπεῖν, ἀνδρία τί ποτ' ἐστίν.

Anmerkungen.

1. Der Konjunktiv steht, wie man aus dem Sinne dieser Beyspiele abnehmen kann, wenn eine Handlung bloß unter gewissen Bedingungen geschieht, und auch geschehen muß, wenn diese oder jene Umstände eintreten; und dieses heißt man objektive Möglichkeit. Aus diesem Grunde ist er immer von einem andern Verbum oder Satze abhängig, oder wird von gewissen Partikeln regiert, als:„ χρησώμεθα παρουσίᾳ τῶν ἀγαθῶν, utamur praesentia bonorum. ὡς ἂν εἰς λιμένα ποιῆται, quasi in portum influat.

2. Wenn der Konjunktiv für sich allein und unabhängig erscheint, so kann man ihn durch Auslassungen erklären; welches bey Aufmunterungen in der ersten Person, bey zweifelhaften Fragen, und bey Negativsätzen geschehen kann, als:„ ἀποκτείνωμεν, κατάσχωμεν, λέγωμεν, für ἄγετε, ἀφές, δεῦτε, φέρε, ἵνα λέγωμεν. τί φῶ, was soll ich sagen? οὐ μή τι πάθῃ, damit ihm nichts widerfahre! εἰς στοὰν ἀποχωρήσωμεν; ἴωμεν δή, ὦ Σόκρατες.

3. Der Kunjunktiv läßt sich im Deutschen und Lateinischen oftmal durch die Future Indikativ ausdrücken,

αἰδ:„ ἦν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, quodsi vero me hic reliqueris, et didicero equitare. ὅταν μὲν ἐν Πέρσαις ὦ, cum inter Persas ero. ὅταν λέγῃ, quum dicet. ὅπου ἐὰν ἀπέρχῃ, quocunque abieris.

---

§. 17.

Optativ.

Der Optativ ſtellt das, was das Verbum ſagt, als möglich vor; daß eine Sache, als möglich gedacht, geſchehen könne, unabhäng von allen Bedingungen und Umſtänden. Demnach liegt hier= bey immer Realiſierung des Wunſches zum Grunde. Uebrigens verlangen auch gewiſſe Parti= keln nach Umſtänden den Optativ.

Διόνυσος ἐπ' Ἰνδοὺς ἐλαύνων, ἵνα δέχοιντο αἱ πόλεις αὐτὸν, ὅπλοις μὲν Φανεροῖς τὴν στρατίαν οὐχ ὥπλισεν. καὶ πάντα ὅσα Κλεομένης βούλοιτο, ὑπὸ κήρυκος ἐσήμαινε τῇ στρατίᾳ. οἱ δὲ ἐπακούειν μὴ δυ= νάμενοι, προελθεῖν αὐτὸν ἠξίωσαν εἰς τὸ προπύλαιον, ἵνα πάντες ἐπακούσειαν. οὔτ' ἂν μνησαίμην, οὐτ' ἐν λόγῳ ἄνδρα τιθείμην, nicht erwähnen will ich, nicht durch Lied den Mann verherrlichen. οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν Δούριδος ἀλκῆς. χαίροιτε λοιπὸν ἡμῖν ἥρωες! ἐπιτριβείη καὶ κακὸς κακῶς ἀπόλοιτο ὁ κάκιστος ἀλεκτρύων. καὶ τίνι χρώμενοι σπουδαῖοι ἂν τοῖς τρόποις ἀποβαῖεν, et quonam usi industriosi moribus evadant. ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμ= νια. τάχ' ἂν ἐξαίφνης εἰ σὺ Φανείης, σιγῇ πτήξειαν ἄφωνοι, ſogleich wohl plötzlich wenn du erſchieneſt, durch Schweigen erſchüttert würden ſie ſtimmlos.

πῶς δὲ ἄνδρες γεωργοὶ ἄξιον ἄν τι δρᾷεν; quomodo igitur viri agricolae egregie quid gererent? πολλοὺς οἶμαι εἶναι ἀνθρώπους, οἳ οὔτε ἀσεβεῖν ἂν θελοῖεν, οὔτε ἀδικεῖν, οὔτε ἂν ψεύδοιντο ἑκόντες. Ἀγησίλαος ἐρωτηθεὶς, πῶς ἄν τις μάλιστα παρ' ἀνθρώποις εὐδοκιμοίη, εἰ λέγοι, εἶπε, τὰ ἄριστα· πράττοι δὲ τὰ κάλλιστα. ἐγὼ ἄφρων ἂν εἴην, εἰ τοῦτο ποιοίην. ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος, τὰ δ' ἄλλα ὅμοιος! τίς ἄν σοι πιστεύσειε; ἀφίκετο ἵνα θεῷτο. τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν! νικᾷη δὲ θέων θρηίκιον Βορέην, besiegte auch im Laufe den thrazischen Boreas. εἴθε ἀφανισθείη τὸ κακὸν ἐν ἀνθρώποις! καλήν σοι θεοὶ διδοῖεν τύχην. οὐκ ἄν ἀνασχοίμην πλεονεκτοῦντας ὁρῶν τοὺς ἀτακτοῦντας. τὰ πονηρὰ ἀνθρώπια οὐκ ἄν ἄλλως μᾶλλον ἕλοις, ἢ εἰ διδοίης τι, die schlechten Leute lassen sich nicht leicht auf andere Art mehr gewinnen, als wenn man giebt. οὐκ ἄν εἴποιεν ἃ νοοῦσιν, ἀλλὰ λέγουσι παρὰ τὴν ἑαυτῶν δόξαν. πλείστην δ' ἄν ἔχοι δόξαν, εἰ δοκοίη τῶν τεχνῶν ἔμπειρος εἶναι πασῶν.

Anmerkungen.

1. Wenn es heißt:„ Der Konjunktiv und Optativ werden durch gewisse Partikeln regiert, so ist nicht zu glauben, daß sie als Folge der Wirkung dieser Partikel stehen; sondern diese Modi ergeben sich aus dem Sinne und den Umständen der Rede. Man sagt also nur darum so, weil diese oder jene Partikel mit diesem oder jenem Modus gewöhnlich vorzukommen pflegt. So sagt man, die Partikel *εἰ* regiert den Indikativ, weil sie gewöhnlich diesen Modus bey sich hat. Indeß zeigen sich häufig Fälle, wo auch der Konjunktiv und Optativ damit vorkommen, aber nur wegen Folge des Redesinnes.

2. Weil der Optativ idealisch voraussetzt, daß etwas als denkbar und für sich möglich ist, und auch geschehen kann und wird; ohne daß deßwegen diese oder jene Bedingungen oder Umstände zuvor eintreten, erfüllet oder gehoben werden müssen: so nennt man dieses subjektive Möglichkeit. Demnach setzt der Konjunktiv objektive, der Optativ subjektive Möglichkeit voraus, als:„ περὶ δὲ τῶν δεινῶν καὶ θαῤῥαλέων σκεψώμεθα, laßt uns aber über die Dinge, die fürchterlich sind, und wobey man gemuthet seyn kann, untersuchen. τοῦτο μέν σοι κἀν ἐγὼ ἔχοιμι εἰπεῖν, das wahrlich kann ich wohl auch dir bezeugen.

3. Im Konjunktiv, und auch im Optativ, werden alle Verben im Perfekt und Plusquamperfekt Passiv, gewöhnlich mit dem Particip und εἰμὶ, gegeben, oder umschrieben, als:„ ὅταν τῶν στρατιωτῶν, εὖ μὲν τὰ σώματα ἠσκημένα ἦν, εὖ δὲ αἱ ψυχαὶ τεθηγμέναι, εὖ δὲ αἱ πολεμικαὶ τέχναι μεμελετημέναι ὦσιν, u. s. w.

---

§. 18.

Imperativ.

Der Imperativ stellt das, was daß Redewort sagt, gleichsam als nothwendig vor; er fordert, daß etwas geschehen kann, geschehen muß, oder geschehen soll.

Βραδέως ἐγχείρει· ὃ δ' ἄρξῃ, διαβεβαιοῦ, sero aggredere; quod autem coeperis, constanter absclve. μίσει τὸ ταχὺ λαλεῖν. ἀνάγετε οὖν ἐπὶ πόδα, καὶ βουλεύσασθε, referte igitur pedem, et consultate. ἄκουε πολλὰ, λάλει καίρια. ὅρα τὸ μέλλον. ἡδονὴν φεῦγε, αὕτη γὰρ λύπην τίκτει. κεκλείσθω ἡ θύρα. φίλους μὴ ταχὺ κτῶ· οὓς δ' ἂν κτήσῃ, μὴ ταχὺ ἀποδοκίμαζε. σιωπὴ τὰ πολλὰ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα καὶ δι' ὀλίγων. μὴ τοῦτο

ποίησον. δὸς τοῖς πτωχοῖς. τοῦτο παρὰ σοῦ ἐπιδεικνύσθω. ὃ δ' ἂν ἴδῃς, μὴ λέγε. πείσας λάβε, μὴ βιασάμενος. ἀλλὰ ταῦτα οὕτω πεπράχθω. οἱ δ' οὖν γελώντων καὶ ἐπιχαιρούντων κακοῖς τοῦδε, hi vero insultanto et gaudento malis hujusce. θανόντες ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα, mortui jam mea adimunto arma. οὕτω πειρῶ ζῆν, ὡς καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος. μέμνησο τῆς κοινῆς τύχης. φθονούντων δὲ οἱ πονηροὶ τῶν γειτόνων. θάρσει, ἐπεὶ δαίμων ἕτερον δρόμον ἡγεμονεύσει. ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ὑφ' ἡμῖν, καὶ μετάθες ἐπὶ τὰ παρὰ Φύσιν τῶν ἐφ' ἡμῖν· τὴν ὄρεξιν δὲ παντελῶς ἐπὶ τοῦ παρόντος ἄνελε, nimm weg daher das Verabscheuen von allen Dingen, die nicht in unserer Gewalt stehen, und wende es an auf die Dinge, welche gegen die Natur dessen sind, was von uns abhängt; die Begierde aber hebe gänzlich für jetzt auf. πρὸς Διὸς τοίνυν, ἔφην ἐγώ, εἰ μή τίς σοι μεγάλη ἀσχολία τυγχάνει οὖσα, διήγησαι ἡμῖν. λόγισαι πρὸ ἔργου. εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω, εὖ δέ τις ἵπποισιν δεῖπνον δότω ὠκυπόδεσσι. ἀλλ', ὦ παῖδες, λέγετέ μοι, ὅδ' ἐστὶ Σωκράτης, περὶ οὗ ἑκάστοτε ἐμέμνησθε; aber, o Kinder, saget mir, ist dieses der Sokrates, dessen ihr täglich erwähntet? ὠγαθὲ λέγε, ἀκούσομαι γάρ. θήρα τὸ καλόν, ὦ παῖ! μὴ ἀφίεσό γε τοῦ ἀνδρός.

Anmerkungen.

1. Der Imperativ läßt sich nicht bloß durch die Imperativform allein bezeichnen, sondern auch durch das Futur Indikativ, durch den Konjunktiv, und auch durch den Infinitiv, als: ταῦτα μὲν οὖν καὶ σὺ ποιήσεις. μηδὲν

εἴπῃς φλαῦρον. μὴ κακὰ κερδαίνειν. καὶ δώσεις μοι τοῦτο. μηδαμοῦ σαυτὸν εἴπῃς φιλόσοφον. σὺ δ' ἄν τι ἔχῃς βέλτιον ποθὲν λαβεῖν, πειρᾶσθαι καὶ ἐμοὶ μεταδιδόναι, lies:,, πείρασαι, μεταδίδοθι.

2. Auſſer dem daß im Griechiſchen der Imperativ, wie in andern Sprachen, bey Anreden, Befehlen, Bitten, Ermahnungen, u. ſ. w., gebraucht wird; ſteht er auch noch im Perfekt, um einen bleibenden oder daurenden Zuſtand zu bezeichnen; oder endlich um anzuzeigen, daß eine Handlung zu einer andern Zeit hätte ſchon geſchehen ſollen, als:„ ἐκπεπορθήσθω ἡ Τροία ἐννέα ἔτεσι πρότερον, Troja hätte neun Jahre früher zerſtört werden ſollen. εὐσέβεια δὲ πρῶτον ὑποβεβλήσθω, κρηπὶς ἀσφαλής, ἐφ' ἧς ἑστήξει τὸ ἄγαλμα ἔμπεδον τῆς βασιλείας. καὶ περὶ μὲν τῆς γενέσεως τοσαῦτα εἰρήσθω.

3. Hier zu dieſen vier Moden mag man ſich auch noch die ſogenannte periphraſtiſche Konjugation merken, welche mit dem Verbum εἰμὶ und dem Particip eines andern Verbums ſich ergiebt, als:„ κἀγὼ καθήμην γὰρ παρὰ τὸν ἐραστὴν τοῦ ἑτέρου αὐτοῖν· κινήσας οὖν αὐτὸν τῷ ἀγκῶνι, ἠρόμην ὅ τι ποτὲ οὕτως ἐσπουδακότε τῶ μειρακίω ἦτην; καὶ εἶπον, ἦ πού τι μέγα καὶ καλόν ἐστι, περὶ ὅ τοσαύτην σπουδὴν πεποιημένω ἐστόν; und ich ſaß nämlich bey dem Liebhaber des einen von ihnen; ſtieß daher ihn mit dem Ellenbögen, und fragte, was wohl die beyden Jünglinge ſo eiferig behandelten? und ſagte, es iſt gewiß etwas Wichtiges und Schönes, worüber ſie ſo groſſen Eifer bezeigen? οὐ τόδε τὸ χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῶζόν ἐστιν, ἀλλὰ οἱ πολλοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον.

4. Frageſätze laſſen ſich entweder aus der Stellung der Wörter und dem Redeſinne, oder aus Fragewörtern ſelbſt erkennen, als:„ καὶ ἐγὼ θαυμάσας αὐτοῦ τὴν ἀπόκρισιν, εἶπον· ὦ νεανία, αἰσχρὸν δοκεῖ σοι εἶναι τὸ φιλοσοφεῖν; ἢ τί οὕτω χαλεπῶς λέγεις; und ich bewundernd ſeine Antwort, ſagte: o Jüngling, unanſtändig ſcheint dir es zu ſeyn zu philoſophieren? Warum redeſt ſo hart du? τίς ὢν μέγα φρονεῖς; πότερον ἱππεύς, ἢ τοξότης, ἢ πελταστής, ἢ πεζός; οὐδείς, ἔφη, τούτων· ἀλλ' ὁ πᾶσι τούτοις ἐπιστάμενος ἐπιτάττειν, nullus inquit horum; sed qui his omnibus novi imperare. ἢ οὐχ οὕτω καὶ σὺ λέγεις; oder ſagſt du nicht auch ſo?

§. 19.
Infinitiv.

Der Infinitiv bezeichnet die jedesmalige Bedeutung des Redewortes, aber ohne Personen und Zahlverhältnisse; und kann in diesem Betrachte entweder als Objekt, oder als Subjekt des Satzes vorkommen.

Πάντων ἄριστον μὴ βιάζεσθαι θεούς, στεργεῖν δὲ μοῖραν. μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν. εἰς ὄμματα εὔνου φωτὸς εἰσβλέψαι γλυκύ. οὐ γὰρ ἄποροι διαλυθῆναι βούλονται, ἀλλὰ καὶ κτήσασθαί τι ἐκ τῶν πόνων. τὸ μὴ ἁλῶναι τὴν πόλιν, ἐπρίατο παρὰ τῆς Ἀθηνᾶς βοῶν δώδεκα, ne urbs caperetur, emit a Minerva bobus doudecim. τὰ δ' ἐμὰ μὴ βούλου μαθεῖν. ταὐτόν σοι δοκεῖ εἶναι τὸ γενέσθαι καὶ τὸ εἶναι, ἢ ἄλλο; hältst du Werden und Seyn für einerley, oder für was verschiedenes? eigentlich: scheint dir Werden und Seyn dasselbe κατὰ τὸν αὐτὸν τρόπον zu seyn, oder was anderes? χαλεπόν ἐστιν ἐλέειν ἅμα καὶ φρονεῖν. ὡς ἡδὺ τὴν θάλατταν ἀπὸ τῆς γῆς ὁρᾶν! Διονύσιον Σικελίας τύραννον ὥρμησαν οἱ μισθοφόροι κτεῖναι. εἰ δ' ἄεθλα γαρύεν ἔλδεαι. τιμήεν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι γῆς περὶ καὶ παίδων, κουριδίης τ' ἀλόχου δυσμενέσιν, ehrenvoll wahrlich ist es und rühmlich dem Manne zu kämpfen für Land und Kinder und junge Gemahlinn mit Feinden. τὸ φυλάξαι τὰ ἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερόν ἐστιν. ἔργμασιν ἐν μεγάλοις, πᾶσιν ἄδεῖν χαλεπόν. ἥδιστον ἐν τῷ βίῳ, τὰ ἑαυτοῦ πράττειν. τί δέ, ἠθέλησας ἄν ζητῆσαι ἢ μαθεῖν, εἴ

ἐπίστασθαι ᾧου; hast du schon was erfinden und suchen wollen, das du zu wissen vermeynteſt. οὐχὶ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ ὅταν τε εἰς τοὺς λόγους, οὓς ἀκούω. Φίλιππος ποθῶν κτήσασθαι Θεσσαλίαν, αὐτὸς μὲν Φανερῶς οὐκ ἐπολέμει Θεσσαλοῖς. εὐθὺς οὖν πάσῃ Φαντασίᾳ ταχείᾳ μελέται ἐπιλέγειν, bey jeder unangenehmen Vorſtellung befleiſſe dich alſo ſogleich zu ſagen. καὶ μὴ δόξητε λέξειν ἐν ἑαυτοῖς, et ne velitis dicere inter vos. οὗτοι δὴ ἱκανοὶ τέρπειν ἡμᾶς Φαίνονται. καὶ ὁ Ἀστυάγης δέ, ὅ τι δέοιτο αὐτοῦ ὁ Κῦρος, οὐδὲν ἐδύνατο ἀντιλέγειν, μὴ οὐ χαρίζεσθαι, quin gratificaretur. οἱ Ἕλληνες νικήσαντες βουλεύονται πλεῖν ἐΦ' Ἑλλήσποντον, καὶ τὸ ζεῦγμα λύειν, ἵνα βασιλεὺς μὴ Φύγῃ. ἀλλὰ σκοπῶν οὐ δύναμαί ἐννοῆσαι, ich kann es nicht ausſinnen. Ζήνων δοῦλον ἐμαστίγου ἐπὶ κλόπῃ τοῦ δὲ εἰπόντος· „εἴμαρτό μοι κλέψαι· „καὶ δαρῆναι, Ζήνων ἔΦη. εἰ θέλουσι δύο ἥλιοι γενέσθαι, κίνδυνος πάντα συμπλεχθέντα διαΦθαρῆναι.

Anmerkungen.

1. Wie man aus dieſen Beyſpielen ſieht, wird der Infinitiv in der Regel eben ſo gebraucht, wie im Deutſchen und Lateiniſchen. Indeß kommen jedoch wieder Eigenheiten vor, die in andern Sprachen nicht ſo leicht ſtattfinden, als:„ σὺ δὲ μεγαλήτορα θυμὸν ἴσχειν ἐν στήθεσσι, du aber beweiſe Muth im Herzen. Man kann entweder, ἴσχε, leſen, oder, σὲ δεῖ, hinzudenken.

2. Es giebt gewiſſermaſſen auch einen abſoluten Infinitiv, der ganz unabhängig für ſich da ſteht, wie im Deutſchen, als:„ ἁπλῶς εἰπεῖν, kurz zu ſagen, überhaupts zu reden. ὡς ἐμὲ εὖ μεμνῆσθαι, wenn ich mich recht erinnere. σὲ ταῦτα δρᾶσαι, du dieſes thun! du thäteſt dieſes!

3. In Fällen, wo der Deutsche beym Infinitiv das Wörtchen zu setzt, steht im Griechischen geradehin der Infinitiv, als:„ δός μοι πιεῖν, gieb mir zu trinken. κἀγὼ ἔχω τι λέγειν, auch ich habe was zu sagen, kann, weis was zu sagen, könnte was sagen. δέομαί σου ελθεῖν, ich bitte dich zu kommen, daß du kommest. πείθω τοῦτο ποιεῖν, ich rathe es zu thun ᾤετο ἀδικῆσαι, er glaubte, wähnte Unrecht gethan zu haben. δότε αυτοῖς φαγεῖν, gebt ihnen zu essen.

4. Die Konjunktionen, damit, daß, lassen sich im Griechischen auch geradezu mit dem Infinitiv geben, als:„ τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος. πειρασθῆναι ὑπό τοῦ διαβόλου, auf daß, damit er versucht werde. Man kann aber dergleichen Konstruktionen auch für das Supinum in u ansehen.

5. Dergleichen Infinitive:„ ἀκούειν, ἀντειπεῖν, ἀντιλέγειν, ἀποδοῦναι, βοηθεῖν, δεικνύειν, δηλῶσαι, διδάσκειν, ἐγκωμιάζειν, εἰπεῖν, ἐπαιτεῖν, καταφεύγειν, λέγειν, παρασχέσθαι, προσθῆναι, σῶσαι, ὑπερβάλλειν, χρῆσθαι, haben gerne ἔχω, statt δύναμαι, voranstehen, in der Bedeutung, ich kann, ich weis, als:„ πῶς ἔχεις λέγειν; wie kannst du sagen? δεικνύειν ἔχω, ostendere queo. ἵνα ἔχωσι κατηγορεῖν αὐτοῦ, ut possent accusare eum. οὐκ ἔχω ἔγωγε εἰπεῖν, ich kann, weis dir es nicht zu sagen.

Akkusativ mit dem Infinitiv.

Da die deutsche Sprache keinen Akkusativ mit dem Infinitiv hat, so muß man die lateinische Sprache studiert haben, oder verstehen; um zu wissen, was es mit dieser Konstruktionsweise für eine Beschaffenheit habe.

Διὰ τοῦτο γὰρ οἶμαι ἡμᾶς παῖδας ὄντας, τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵνα ἄνδρες ὄντες, αὐταῖς χρώμεθα. πρώτῃ καὶ ὀγδοηκοστῇ ὀλυμπιάδι φασὶ τὴν Αἴτνην ῥῆναι. κελεύω σε παρεῖναι. εἰ καταλῦσαί με τὸν πρὸς ὑμᾶς ἀρέγεσθε πόλεμον. ὦ παῖ

Κλεινίου, οἶμαί σε θαυμάζειν, ὅτι πρῶτος ἐρώστης σου γενόμενος, τῶν ἄλλων πεπαυμένων, μόνος οὐκ ἀπαλλάττομαι. ἄναστα, ὦ βασιλεῦ, καὶ φρόντιζε πραγμάτων, ὧν σε φροντίζειν ὁ θεὸς ἐθέλησε. Κάδμον φασὶ τὸν Ἀγήνορος ἐκ Φοινίκης ὑπὸ τοῦ βασιλέως ἀποσταλῆναι πρὸς ζήτησιν τῆς Εὐρώπης. διὸ δὴ καὶ πάλαι οἶμαι με τὸ θεὸν οὐκ ἐᾶν διαλέγεσθαί σοι, deßhalb glaube ich ließ es Gott auch lange nicht zu, daß ich mit dir redete. ᾤμην σε παρεῖναι μόνον. ἅπαντες νομίζομεν, τὴν γῆν σφαῖραν εἶναι. ἀδύνατον πολλά, τεχνώμενον ἄνθρωπον πάντα καλῶς ποιεῖν. Πυθαγόρας εἶπεν εἰσιέναι εἰς τὰς πόλεις πρῶτον τρυφήν, ἔπειτα κόρον, εἶτα ὕβριν, μετὰ δὲ ταῦτα ὄλεθρον. οἱ πυθαγορικοὶ ἔλεγον· ἐνδεδέσθαι τῷ σώματι τὰς ἀνθρώπων ψυχὰς τιμωρίας χάριν. λόγος τίς ἐστι, Ῥοδίους ὑσθῆναι χρυσῷ, χρυσῆν ἐπ' αὐτοὺς τοῦ Διὸς νεφέλην ῥήξαντος. δεινόν ἐστι, τοὺς χείρους τῶν βελτιόνων ἄρχειν. νῦν μὲν ἔφη, τοὺς ἡγέμονας αἰτιᾶσθαι, primum quidem dixit, se duces accusare. ἀλλὰ μὴν ἄρτι γε οὐδὲ μαθὼν ἔφησθα εἰδέναι, aber wahrlich so eben hast gesagt, daß du es nicht von andern gelernet hast, daß du es nicht gelernet habend wußtest. καὶ Κῦρον δὲ αὐτὸν σὺν πολλοῖς δακρύοις λέγεται ἀποχωρῆσαι.

Anmerkungen.

1. Nach λέγεται kann der Akkusativ mit dem Infinitiv, oder auch der Nominativ statt finden, als: „ Κροῖσος μὲν ὁ Λυδὸς ἄγειν λέγεται μυρίους μὲν ἱππέας, πελταστὰς δὲ καὶ τοξότας πλείους ἢ τετρακισμυρίους. ὁ μεν δὴ Κῦρος οὕτως ἀπελθὼν εἰς Πέρσας, ἐνιαυτὸν μὲν λέγεται ἔτι ἐν τοῖς παισὶ γενέσθαι. Νικίαν λέγε-

ται ἐπιστάτην εἰς τἀργυρεῖα πρίασθαι ταλάντου. καὶ τὸν Κῦρον δὴ ἐνταῦθα λέγεται εἰπεῖν ὅτι ἀπιέναι βούλοιτο. τοὺς μέν τοι Ἕλληνας τοὺς ἐν τῇ Ἀσίᾳ οἰκοῦντας οὐδέν πω σαφὲς λέγεται εἰ ἔπονται. Aber bey λόγος ἐστί, ſo wie auch bey ἱστοροῦσι, λέγουσι, μυθολογοῦσι, φασί, ſteht immer der Akkuſativ mit dem Infinitiv, oder aber im Paſſiv der Nominativ, als:„ ἱστορεῖται, λέγονται, μυθολογεῖται.

2. Das erklärende Nomen wird oft mit dem Hauptſubjekte in denſelben Kaſus geſetzt, anſtatt daß es der Regel nach in den Akkuſativ mit dem Infinitiv käme; und dieſes heißt man gewöhnlich Attraktion, als:„ οὗτος ὁ ἀνὴρ οἴεται σοφὸς εἶναι. ἐδέοντο αὐτοῦ εἶναι προθύμου. ἔστι μοι γενέσθαι εὐδαίμονι. κελεύω σε εἶναι ἀγαθόν. ἔπεισα αὐτοὺς εἶναι θεός, ich beredete ſie, daß ich ein Gott ſey. προσήκει ὑμῖν βελτίστοις εἶναι. Man ſieht, daß in dieſem Falle das perſönliche Pronomen gewöhnlich weggelaſſen werde; aber auch in dem Akkuſativ mit dem Infinitiv ſtehen könne, als:„ Φάσκων πάντα ποιήσειν τὰ προσταττόμενα. Ἀπόλλων ἔφη δώσειν τῇ ἑβδόμῃ ἡμέρᾳ. Κροῖσος ἐνόμιζεν ἑωϊτὸν εἶναι πάντων ὀλβιώτατον. λέγων εἶναί τινα ἑαυτόν, dicens esse se aliquem.

3. Bey den Wörtern:„ ἀνάγκη, δεῖ, ἔξεστι, ἐστί, καθήκει, πρέπει, προσήκει, χρή, iſt der Infinitiv in der Regel immer als Subjekt des Satzes anzuſehen, wenn er dabey zu ſtehen kommt; wo δεῖ und χρή, das Hauptſubjekt gewöhnlich im Akkuſativ, die übrigen aber gewöhnlich im Dativ bey ſich haben, als:„ δεῖ με συμπράττειν τοῖς φίλοις. ἀνάγκη μοι εἰπεῖν. εἴ τε χρὴ αὐτὸ τοὺς νεανίσκους μανθάνειν, εἴ τε μή. πρέπει τοῖς ἀθληταῖς τὸ σῶμα ἀεὶ γυμνάζειν. ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη σε φέρεσθαι, gehſt du aber weiter, ſo wirſt du dich übrigens gewiß in den Abgrund ſtürzen. Uebrigens heißt ἀνάγκη, Nothwendigkeit, Unvermeidlichkeit, Zwang, und es iſt dabey ἔστι zu verſtehen, als:„ οὐκοῦν, ἔφη ὁ Κῦρος, ἀκροβολίζεσθαι ἀνάγκη ἐστίν.

4. Das Adjektiv, δῆλος, deutlich, klar, offenbar, hat bey dergleichen Konſtruktionen im Griechiſchen Etwas, das im Deutſchen und Lateiniſchen nicht ſo leicht ſtattfindet, als:„ δῆλός ἐστιν εὐεργετήσων, certum est eum beneficium collaturum esse, es iſt gewiß, offenbar, daß er beytragen werde. πάλαι σοι δῆλος εἶην, σοῦ μὲν

οὐδὲν Φροντίζων, olim tibi viderer nullam tui rationem habere, es ſollte dir ſchon lange bekannt ſeyn, daß ich auf dich nicht achte. δῆλος εἶ ὅτι Φήσεις, es ſcheint du willſt mir ſagen. δῆλοι ἦσαν μυσαττόμενοι, ſie gaben öffentlich ihren Abſcheu zu erkennen. ὅταν οὖν ἴδω τινὰ μὴ φιλοῦντα προσευχήν, μηδὲ θερμὸν ἔρωτα ταύτης ἔχοντα, καὶ σώφρον ἤδη μοι οὗτος δῆλός ἐστιν, ὡς οὐδὲν γενναῖον ἐν τῇ ψυχῇ κέκτηται, cum igitur videro quempiam non amantem orationem, neque fervidum amorem hujus habentem, et valde continuo mihi palam est, eum nihil egregiae dotis in animo possidere.

5. Beym Akkuſativ mit dem Infinitiv, werden im Griechiſchen nicht ſelten die zwey Sätze in einen Satz zuſammengezogen, ſo daß der Infinitiv mit ſeinem ganzen Anhange als Subjekt desſelben kann angeſehen werden, als: „ Dem Lykurg widerfuhr es, daß ihm das Auge vom Alkander ausgeſtoſſen wurde, τῷ Λυκούργῳ ἐπήντησε τὸν ὀφθαλμὸν ἐκκοπῆναι ὑπὸ Ἀλκάνδρου, eigentlich: dem Lykurg begegnete das Auge Ausgeſtoſſen werden vom Alkander.

---

§. 20.

Gerundium.

Das lateiniſche Gerundium wird im Griechiſchen bloß durch den Infinitiv angezeigt, mit oder ohne Voranſetzung des Artikels, oder einer Präpoſition, ſo wie im Deutſchen; läßt ſich aber auch durch das Particip ausdrücken.

Τὸ κηρύττειν ἑαυτὸν, καὶ πάντα ποιεῖν ὑπὲρ τῆς δείξεως, οὐ σοφίας, ἀλλὰ σοφιστείας ἐστίν. τοῦ ζῆν οὐκ ἄξιός ἐστιν ὁ μὴ ἔχων φίλον χρηστόν. εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν ἦ τοῦ φρονεῖν παράσημα, αἱ χελιδόνες ἐλέγοιντ' ἂν ἡμῶν σωφρονέστεραι πολύ. νομίζων, εἴτε νίκην διδοῖεν οἱ θεοί, τὴν κάλλιστον κόσμον τῇ νικᾷν πρέπειν. πάντα δοῦλα

τῷ Φρονεῖν καθίσταται, omnia servilia prudentiae componuntur, oder, famulatur omne, quidquid est, prudentiae. ἀνὴρ οὕτως ἂν εἴη ἄριστος, εἰ βουλευόμενος μὲν ὀρρωδέοι πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα· ἐν δὲ τῷ ἔργῳ δρασὺς εἴη, vir ea ratione etiam sit optimus, si in deliberando quidem cunctetur, eligendo omnem tentandam esse rem; at in agendo sit confidens. ὁ δεσπότης ἐμποιεῖ τὸ μισεῖν ἢ τὸ καταΦρονεῖν τοῖς ἀρχομένοις. ἐγὼ δὴ οἶμαι, ἔΦη, τὸν ἄρχοντα οὐ τῷ ῥᾳδιουργεῖν χρῆναι διαΦέρειν τῶν ἀρχομένων, ἀλλὰ τῷ προνοεῖν τε καὶ Φιλοπονεῖν προθυμούμενον. ἄριστος τρόπος τοῦ ἀμύνεσθαι τὸ μὴ ἐξομοιοῦσθαι. ἐν τῷ μηδὲν Φρονεῖν ἥδιστος ὁ βίος. μετὰ τὸ ἁμαρτάνειν γίνεται τὸ μετανοεῖν. εὖ λέγεις· ἴσθι δή, καὶ τὸ ἐν τῷ πολεμεῖν βέλτιον, καὶ τὸ ἐν τῷ εἰρήνην ἄγειν, τοῦτο τὸ βέλτιον, τί ὀνομάζεις; du ſagſt ganz recht; ſage mir nun auch, was iſt das Beſte beym Kriegführen und Friedenſchlieſſen, und wie benenneſt du es? τὸν τοῦ πράττειν χρόνον εἰς τὸ παρασκευάζεσθαι ἀναλίσκομεν, agendi tempus in apparando consumimus.

Anmerkungen.

1. Im Griechiſchen ſteht häufig das Gerundium, oder der Infinitiv, wenn man ſo lieber will, mit einer vorangehenden Präpoſition, und dem Artikel τὸ, anſtatt einer Konjunktion mit dem erforderlichen Modus, als: „διὰ τὸ ἐφ' ὕψους ἱδρύσθαι μεγάλου, quod sitam sit loco alto. διὰ τὸ εἶναι πλείους ποταμοὺς ἐν αὐτῇ, καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν, quod plures sint fluvii in ipsa, et difficiliorem facit transitum. ἔτι δὲ καὶ διὰ τὸ Φιλομαθὴς εἶναι, πολλὰ μὲν εὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, etiam vero quod et discendi

studiosus esset, multa quidem ipse semper praesentes interrogabat. Καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῶτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνατο, et quaecunque ipse ab aliis interrogaretur, quod ingenio dextro esset, expedite responderet. καὶ διὰ τὸ φιλεῖν αὐτόν, theils weil er ihn liebte. ἀλλὰ μὲν ἐπὶ τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, aber daß man von den Unterthanen geliebt werde, u. ſ. w.

2. Man darf nicht glauben, als müſſe beym Gerundium jederzeit der Artikel, oder ein Fügewort voranſtehen; ſondern es können oft beyde ausgelaſſen ſeyn, oder auch das eine ohne das andere ſtehen, als:„ πάντων δὲ τούτων ὁ σαβῖνος κουφότερος, ἀπὸ ἐτῶν ἑπτὰ ἐπιτήδειος πίνεσθαι μέχρις πέντε καὶ δέκα, omnium vero horum sabinum vinum levius, ab annis septem aptum bibendo usque ad quindecim. καὶ τοὺς ἐπιβουλεύοντας παρέδοσαν αὐτῷ κολάσαι· ὁ δὲ τούτους εἴασε τῷ δήμῳ τιμωρήσασθαι τοῖς Ἕλλησιν ἐδόκει φεύγειν, Θεμιστοκλεῖ ναυμαχεῖν ἐν στενῇ θαλάσσῃ· ὡς ἐστι πρώτη δεινῶν στρατηγῶν σοφία, κτᾶσθαι τὴν νίκην ακίνδυνον· ἄριστον δὲ καὶ τὸ ἐν αὐτῇ τῇ παρατάξει μηχανᾶσθαι, nam est prima egregiorum ducum sapientia, comparare victeriam sine periculo; optimum autem et ipsa in acie machinari. αὐτὸς κἀμὲ φιλοσοφεῖν παρίσταται, ipse et me ad philosophandum cohortabatur. ἡ φρόνησις μόνον ἡγεῖται τοῦ ὀρθῶς πράττειν, prudentia solum duci ad recte faciendum. Es iſt aber in dieſem Falle der ſubjektive Infinitiv, auch der Akkuſativ mit dem Infinitiv, gewöhnlich einerley, als:„ τὸ ἁμαρτάνειν τοὺς ἀνθρώπους, οὐ θαυμαστόν, peccare homines non mirandum.

3. Wie man endlich aus den angeführten Beyſpielen ſieht, behält das Verbum auch im Gerundium ſeine jedesmalige Regierung; welches zwar im Deutſchen nicht wohl der Fall iſt; indem das Verbum die Regierung eines Nennwortes annimmt, als:„ τὸ θηρᾶν τὰ θηρία, das Jagen der Thiere, die Thierjagd. τὸ χρῆσθαι τοῖς καρποῖς, das Benützen der Früchte, die Benützung der Früchte. τὸ ἡγεῖσθαι τῆς πολέως, das Verwalten des Staates, die Staatsverwaltung. μετὰ τὸ ἐλθεῖν αὐτὸν, nach der Ankunft deſſelben, nach deſſen, nach ſeiner Ankunft. Im letzten Beyſpiele iſt zwar αὐτὸν vom Verbum nicht regiert, ſondern gehört als ſubjektiver Akkuſativ vermöge der Konſtruktion zum Infinitiv.

§. 21.

Supinum.

Das Supinum läßt sich gleichfalls auch durch den Infinitiv, mit oder ohne Artikel, und einer Präposition, geben; aber auch mit einer Konjunktion und dem erfoderlichen Modus, oder endlich mit dem Participium.

Ἀεὶ μέν, ὦ παῖ Λαέρτιου, δέδοκά σε πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον, semper quidem, o fili Laërtis, vidi te tentamen quodpiam ut subriperes hostibus occupantem. ἔρχονται ἀντλῆσαι ὕδωρ, sie gehen, kommen Wasser zu schöpfen. εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, um die Gäste, discumbentes, zu besehen. πρῶτος ἠσθάνετο Κῦρος, καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων ὅ τι οἴοιτο χαριεῖσθαι, primus sentiebat Cyrus, et omnium impigerrime exsiliebat administraturus, quodcumque putaret gratum fore. πορεύομαι πρὸς τὸ δειπεῖν, eo coenatum, ich gehe zum Essen. ἐκπορεύονται θηρᾷν, exeunt venatum, sie gehen auf die Jagd. προσέχετε τὴν δικαιοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς, hütet euch eure Gerechtigkeit vor den Menschen auszuüben, um von ihnen gesehen zu werden. ὁ δὲ ἐκλαθόμενος ἀνέστησεν ἐκ τῆς κεφαλῆς ὡς ἀποσβήσων αὐτόν, der aber vergaß sich und stand auf ihn vom Kopfe zu jagen. νύκτωρ τοῦτον ὡς βασιλέα πέμπει, μηνύσοντα κατ' εὐνοίαν δῆθεν, noctu ad regem mittit, ut indicaret e benevolentia scilicet. ὦ παῖ

Ἀλκιβιάδη, ἆρά γε πρὸς τὸν θεὸν προσευξόμενος πορεύῃ; um zu Gott zu beten? ἦλθε γὰρ σῶσαι τὸ ἀπολωλός, denn er iſt gekommen um zu retten das Verlorne. καὶ ἦλθον βαπτίζεσθαι, und ſie kamen um gekauft zu werden. καλὸς πάνυ καὶ πρᾷος ἰδέσθαι, und ſo auch Horaz: et vultus nimium lubricus adspici. εἰ γάρ τοι τῇ πνοιῇ τῶν ἴων τε καὶ ῥόδων χαίρουσιν, ὑπὸ τῇ ῥινὶ μάλιστα ἐχρῆν αὐτοὺς στέφεσθαι, ἵν' ὡς πλεῖστον ἀνέσπων τῆς ἡδονῆς, ut quam plurimum voluptatis perciperent.

Anmerkungen.

1. Man hat beym Infinitiv gewöhnlich eine Präpoſition, etwa εἰς, πρός, ὡς, hinzuzudenken, als:„ ἦλθον εἰς τὸ βαπτίζεσθαι, ſie kamen zum Getauftwerdn. Das Supinum in u läßt ſich auch durch Verbaladjektiva geben, weil es ſeinem Begriffe nach immer ein Paſſiv bedeutet, als:„ χαλεπὴ μὲν ἐν τούτοις ἡ ἀσφάλεια καὶ δύσκριτος, difficilis quidem in istis certitudo et comprehensu ardua. οὔτε γὰρ εὐεπίθετος, οὔτ' εὐκαταφρόνητος ὁ νήφων, ἀλλ' ὁ μεθύων· οὐδ' ὁ ἄγρυπνος, ἀλλ' ὁ καθεύδων, nec enim facilis aggresu nec contemptu sobrius, sed ebriosus; nec vigilans, sed dormiens. Indeß laſſen ſich dieſe, und dergleichen Dinge, durch aufmerkſames Leſen der griechiſchen Werke, leichter bemerken und unterſcheiden, als ſich die Sache nicht ſowohl durch viele und ermüdende Regeln ausſcheiden und verſtändigen läßt. Und ſo mögen nun Hindeutungen darauf genügen!

2. Weil das Participium, nach unſerer Einrichtung, einen eigenen Redetheil bildet, ſo wohl ſeinem Begriffe als der Konſtruktion nach; ſo kann jetzt ſogleich, als einem Theile des Verbi, an das Supinum ſich anſchlieſſend, in dieſem Betrachte davon noch nicht gehandeltwerden; indem ohnehin bald, als dem nächſt folgenden Redetheile, von ihm gehandelt werden wird.

3. Hier kann man noch die Verbaladjektiva auf τέος, τέα, τέον, und τός, τή, τόν, bemerken; welche dem la-

teinischen dus, da, dum, und tus, ta, tum, entsprechen, und in der Regel auch dieselbe Konstruktionsweise erfodern, als: ἀσκητέα σοι ἐστιν ἡ ἀρετή, oder, ἀσκητέον σοί ἐστι τὴν ἀρετήν. τιμητέοι ἡμῖν εἰσιν οἱ γονεῖς, oder, τιμητέον ἡμῖν ἐστι τοὺς γονεῖς. ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιλεπτέον ἐστι, quod rerum vobis illas ipsis suscipiendum sit. χρηστέον ἐστὶ τῇ δικαιοσύνῃ, utendum est justitia, oder, exercenda est justitia. Es kann sogar das Adjektiv auch im Neutrum Plural stehen, als:„ τοὺς φίλους οὐ προδοτέα ἐστί, Freunde darf man nicht verrathen. Allein dieses gienge im Lateinischen nicht an. Eben so auch:„ γραπτὸς νόμος, lex scripta. λεκτοὶ ἄνδρες, viri electi. Oder endlich auch in der Bedeutung des dus, da, dum, als:„ οὐ θαυμαστόν, non mirum, non mirandum est. λείπεται οὖν, εἴπερ ἐστὶ καὶ ὁποσοῦν τὸ θεῖον γνωστόν, u. s. w.

4. Das Deutsche, man soll, man muß, wird im Griechischen entweder durch diese so eben angführten Verbaladjektiven; oder durch die weiter oben schon angeführten Wörter, ἀνάγκη, δεῖ, ἔξεστι, ἐστί, καθήκει, πρέπει, προσήκει, χρή, mit einem dabey stehenden Infinitiv gegeben, als:„ ἰστέον δὲ ὅτι, man muß aber wissen daß. ὅμως δὲ τολμητέον φράσαι τὴν ἐμὴν διανοίαν, demnach aber muß ich es wagen meine Meynung zu sagen. λεκτέον ἄν εἴη, ich muß demnach reden. τί δὲ φροντιστέον ἡμῖν; quid vero curandum nobis? πολλὴν ἄρα δεῖ προμηθίαν αὐτοῦ ἔχειν, viele Vorsorge also muß man dafür tragen. τοῦτο πρῶτον ἐστὶ εἰδέναι ὑμᾶς, das zuvor müsset ihr wissen. χρὴ αὐτὸ μανθάνειν, man muß es lernen. οὐκ ἀποκνητέον, οὐδὲ μαλθακιστέον, ὦ ἑταῖρε!

